τῶν· οἱ δὲ ἦλθον ἐπὶ τοὺς στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ
13 πάντα ἄρχοντα αὐτῶν. [13]καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν Ολοφέρ-
νου καὶ εἶπαν τῷ ὄντι ἐπὶ πάντων τῶν αὐτοῦ Ἔγειρον δὴ τὸν
κύριον ἡμῶν, ὅτι ἐτόλμησαν οἱ δοῦλοι καταβαίνειν ἐφ᾽ ἡμᾶς εἰς
14 πόλεμον, ἵνα ἐξολεθρευθῶσιν εἰς τέλος. [14]καὶ εἰσῆλθεν Βαγωας καὶ
ἔκρουσε τὴν αὐλαίαν τῆς σκηνῆς· ὑπενόει γὰρ καθεύδειν αὐτὸν
15 μετὰ Ιουδιθ. [15]ὡς δ᾽ οὐθεὶς ἐπήκουσεν, διαστείλας εἰσῆλθεν εἰς τὸν
κοιτῶνα καὶ εὗρεν αὐτὸν ἐπὶ τῆς χελωνίδος ἐρριμμένον νεκρόν, καὶ
16 ἡ κεφαλὴ αὐτοῦ ἀφῄρητο ἀπ᾽ αὐτοῦ. [16]καὶ ἐβόησεν φωνῇ μεγάλῃ
μετὰ κλαυθμοῦ καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς καὶ διέρρηξεν τὰ
17 ἱμάτια αὐτοῦ. [17]καὶ εἰσῆλθεν εἰς τὴν σκηνήν, οὗ ἦν Ιουδιθ κατα-
λύουσα, καὶ οὐχ εὗρεν αὐτήν· καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν καὶ
18 ἐβόησεν [18]Ἠθέτησαν οἱ δοῦλοι, ἐποίησεν αἰσχύνην μία γυνὴ τῶν
Εβραίων εἰς τὸν οἶκον τοῦ βασιλέως Ναβουχοδονοσορ· ὅτι ἰδοὺ
19 Ολοφέρνης χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ᾽ αὐτῷ. [19]ὡς δὲ ἤκου-
σαν ταῦτα τὰ ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως Ασσουρ, τοὺς χι-
τῶνας αὐτῶν διέρρηξαν, καὶ ἐταράχθη αὐτῶν ἡ ψυχὴ σφόδρα, καὶ
ἐγένετο αὐτῶν κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμ-
15 βολῆς. [1]καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες, ἐξέστησαν
2 ἐπὶ τὸ γεγονός, [2]καὶ ἐπέπεσεν ἐπ᾽ αὐτοὺς τρόμος καὶ φόβος, καὶ
οὐκ ἦν ἄνθρωπος μένων κατὰ πρόσωπον τοῦ πλησίον ἔτι, ἀλλ᾽
ἐκχυθέντες ὁμοθυμαδὸν ἔφευγον ἐπὶ πᾶσαν ὁδὸν τοῦ πεδίου καὶ
3 τῆς ὀρεινῆς· [3]καὶ οἱ παρεμβεβληκότες ἐν τῇ ὀρεινῇ κύκλῳ Βαιτυ-
λουα καὶ ἐτράπησαν εἰς φυγήν. καὶ τότε οἱ υἱοὶ Ισραηλ, πᾶς ἀνὴρ
4 πολεμιστὴς ἐξ αὐτῶν, ἐξεχύθησαν ἐπ᾽ αὐτούς. [4]καὶ ἀπέστειλεν Ο-
ζιας εἰς Βαιτομασθαιμ καὶ Βηβαι καὶ Χωβαι καὶ Κωλα καὶ εἰς πᾶν
ὅριον Ισραηλ τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν συντετελεσμένων καὶ
ἵνα πάντες ἐπεκχυθῶσιν τοῖς πολεμίοις εἰς τὴν ἀναίρεσιν αὐτῶν.
5 [5]ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ισραηλ, πάντες ὁμοθυμαδὸν ἐπέπεσον ἐπ᾽
αὐτοὺς καὶ ἔκοπτον αὐτοὺς ἕως Χωβα. ὡσαύτως δὲ καὶ οἱ ἐξ Ιε-
ρουσαλημ παρεγενήθησαν καὶ ἐκ πάσης τῆς ὀρεινῆς, ἀνήγγειλαν
γὰρ αὐτοῖς τὰ γεγονότα τῇ παρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν· καὶ οἱ

12 τους $2^{0}$ > SBc† || 13 καταβηναι S || 14 αυλαιαν] αυλην A | υπενοειτο B† || 15 υπηκουσεν A || 17 και εβοησεν] κραζων B†, λεγων S† || 18 του > S || 19 ταυτα > BS(†) | τους χιτ. αυτων / διερρ.] tr. SA | αυτων / η ψυχη] tr. A

15 1 οι > S† | τω σκηνωματι S† || 2 επεπεσεν] επεσεν SA: cf. 2 28 | αυτους] -τοις S*† | τρομος .. φοβος BS*L*†] tr. rel.: cf. 2 28 || 3 παραβεβληκοτες S† | και $2^{0}$ > SA | επ αυτους > S† || 4 επεστειλεν S† | βαιτομασθεν S† | και βηβαι > B | βηβαι] αβελβαιμ S†, αβελμαειν *L*†: cf. 4 4 | χωβαι] ι > S*: cf. 5 | και κωλα > S*† | κωλα] χωλα B†, κε(ε)ιλα *L*Sc† | απαγγελλοντας] αποστελλ. S*† | απεκχυθωσιν A† || 5 και $1^{0}$ > S† | εξ] εν S 58†